οὐ γὰρ ἁπλῶς εἶπε καὶ πᾶσιν ἀνθρώποις ὑπὸ θεῶν ἐπικε-
κλῶσθαι λυπηρὸν βίον, ἀλλὰ τοῖς ἄφροσι καὶ ἀνοήτοις, οὓς
C δειλαίους καὶ οἰκτροὺς διὰ μοχθηρίαν ὄντας εἴωθε ʽδειλοὺςʼ
καὶ ʽὀιζυροὺςʼ προσαγορεύειν.

**6.** Ἄλλος τοίνυν τρόπος ἐστὶ τὰς ἐν τοῖς ποιήμασιν ὑποψίας
πρὸς τὸ βέλτιον ἐκ τοῦ χείρονος μεθιστὰς ὁ διὰ τῶν ὀνομάτων
τῆς συνηθείας, περὶ ὃν δεῖ τὸν νέον γεγυμνάσθαι μᾶλλον ἢ
περὶ τὰς λεγομένας γλώττας. ἐκεῖνο μὲν γὰρ φιλόλογον, καὶ
οὐκ ἀηδὲς ὅτι ʽῥιγεδανήʼ (Τ 325) κακοθάνατός ἐστιν εἰδέναι,
(ʽδάνονʼ γὰρ Μακεδόνες τὸν θάνατον καλοῦσι), ʽκαμμονίηνʼ δὲ
νίκην Αἰολεῖς τὴν ἐξ ἐπιμονῆς καὶ καρτερίας, Δρύοπες δὲ
ʽπόπουςʼ τοὺς δαίμονας. τουτὶ δʼ ἀναγκαῖον καὶ χρήσιμον, εἰ
D μέλλομεν ἐκ τῶν ποιημάτων ὠφελήσεσθαι καὶ μὴ βλαβήσεσθαι.
τὸ γιγνώσκειν πῶς τοῖς τῶν θεῶν ὀνόμασιν οἱ ποιηταὶ χρῶν-
ται καὶ πάλιν τοῖς τῶν κακῶν καὶ ἀγαθῶν, καὶ τί τὴν Τύχην
καὶ τὴν Μοῖραν νοοῦντες ὀνομάζουσι, καὶ πότερον ταῦτα τῶν
ἁπλῶς ἢ τῶν πολλαχῶς λεγομένων ἐστὶ παρʼ αὐτοῖς, ὥσπερ
ἄλλα πολλά. καὶ γὰρ ʽοἶκονʼ ποτὲ μὲν τὴν οἰκίαν καλοῦσιν
(ε 42) ʽοἶκον ἐς ὑψόροφονʼ ποτὲ δὲ τὴν οὐσίαν (δ 318) ʽἐσθίε-
ταί μοι οἶκοςʼ, καὶ ʽβίοτονʼ ποτὲ μὲν τὸ ζῆν (Ν 562)

ʽἀμενήνωσεν δέ οἱ αἰχμήν
κυανοχαῖτα Ποσειδάων, βιότοιο μεγήραςʼ

E ποτὲ δὲ τὰ χρήματα (ν 419)

ʽβίοτον δέ μοι ἄλλοι ἔδουσιʼ,

καὶ τῷ ʽἀλύεινʼ ποτὲ μὲν ἀντὶ τοῦ δάκνεσθαι καὶ ἀπορεῖσθαι
κέχρηνται (Ε 352)

ʽὣς ἔφαθʼ, ἡ δʼ ἀλύουσʼ ἀπεβήσετο, τείρετο δʼ αἰνῶςʼ

ποτὲ δʼ ἀντὶ τοῦ γαυριᾶν καὶ χαίρειν (σ 333, 393)

ʽἦ ἀλύεις ὅτι Ἶρον ἐνίκησας τὸν ἀλήτην;ʼ

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id40391017X/50 UNIVERSITÄT LEIPZIG